# ΕΛΕΓΟΣ

ὑπὸ Ἠ. Τανταλίδου

ΕΙΣ ΤΟΝ

ΑΟΙΔΙΜΟΝ ΠΡΙΓΚΙΠΑ

## ΤΗΛΕΜΑΧΟΝ ΧΑΝΤΖΕΡΗ.

Πρῶτον διερμηνέα τῆς ἐν Κωνσταντινουπόλει,

## ΡΩΣΣΙΚΗΣ ΠΡΕΣΒΕΙΑΣ.

κ τ λ, κ τ λ, κ τ λ,

*Τελευτήσαντα ἐν Σμύρνῃ τῇ ςʹ. Φεβρουαρίου ᾳωνʹ.*



ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ.

Τύποις Ἀντωνίου Κορομηλᾶ καὶ Πλάτωνος Πασπαλλῆ.

1850.

Γ1 130

Ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον.

Παροιμ. ιά. 4.



# ΕΛΕΓΟΣ

Εἰς τὸν ἀοίδιμον Πρίγκιπα Τηλέμαχον Χαντζερῆ, πρῶτον διερμηνέα τῆς ἐν Κωνςαντινουπόλει Ῥωσσικῆς Πρεσβείας.

*
* *

Ποῦ ὁ Τηλέμαχος; Ποῦ ὁ λαμπρὸς καὶ περίβλεπτος Πρίγκιψ;
Τέσσαρες μῆνες παρῆλθον, καὶ ὥραν ἐξ ὥρας ἡ τούτου
Φίλη πατρὶς, τοῦ κλεινοῦ Βυζαντίου τὸ πάγκαλον ἄστυ,
Τῇδε κακεῖσε παπταίνει ποθοῦσα τὴν ὄψιν ἐκείνου,
Ὅστις ἐκόσμει αὐτὴν ἐκπρεπέστερον ἢ ἐκοσμεῖτο.
Ποῦ λοιπὸν, ποῦ ὁ ἀνὴρ φιλαπόδημον πόδα προφέρει;
Κέντρον ἀγάπης καὶ φίλτρων, πατρὸς καὶ συζύγου καθῆκον,
Εἰς τὴν καλὴν τῶν Βορούσων μητρόπολιν τοῦτον ἀνάγει,
Πρὸς τὰς ἀγκάλας ἀλόχου κεδνῆς καὶ υἱοῦ μουσοτρόφου.

*

* *

Φίλος προσῆλθε φιλοῦσι, ποθῶν κατησπάθη ποθοῦντας,
Χαροποιήσας, χαρείς, καὶ καρδίαν καρδίαις συνάψας.

Πλὴν, Χαντζερῆ, τῆς στοργῆς καὶ τῶν φίλτρων τὴν φλόγ' ἀναστέλλων,
Σπεῦσον, ἀνάκαμψον, ὅπου ἐξ ἴσης στοργῆς καὶ λατρείας
Μετὰ παλμῶν σὲ ποθεῖ ἡ φιλότεκνος ὧδε πατρίς σου.
Ὡς δι' ὀμμάτων δ' ἑπτὰ, τῶν ἑπτὰ ἀνθηρῶν αὐτῆς λόφων,
Πρὸς τὰ τερμόνια κύματ' ἀθρεῖ τῆς γλαυκῆς προποντίδος,
Πότε καπνὸς ἢ ἀτμὸς ἀποθρώσκων ποθὲν ἐξ ἀτμήρους,
Ὡς δεξιὸς οἰωνὸς ἀνιόντα σ' αἰσίως μηνύσει.
Ἅλις οἰκίας χαρᾶς καὶ ζωῆς ἰδιώτιδος ἅλις.
Εἰς τῶν κοινῶν ἀναγκῶν τὸν βωμὸν, τὴν καρδίαν ὀφείλει
Ὁ χειρισθεὶς ἐκ Θεοῦ καὶ ἀνδρῶν καὶ πραγμάτων τὰς τύχας.

Ἔδει λοιπὸν ἵνα, τέλος, ἀφεὶς τὸ κλεινὸν Βερολῖνον,
Ἐκ δυσχειμέρων καιρῶν, ὥσπερ ἥλιος ἦρος φανέντος,
Εἰς τὴν Ἑώαν κατέλθῃ ὁ ἔνδοξος Ἕλλην ἐν Ῥώσσοις.
Ὅθεν θερμὸν ἀποδοὺς ἀσπασμὸν, ὡσὰν ὕστατον ἤδη,
Καὶ ὡς θανάσιμον δάκρ' ὑπ' αὐτῶν δακρυθεὶς καὶ δακρύσας,
Ἅπτεται δὴ τῆς ὁδοῦ, ἧς οὐκ ἔμελλε φθάσειν τὸ πέρας,
Ἀλλὰ κατέστ' εἰς αὐτὸν ἀτεχνῶς εἱμαρμένη πορεία.
Ἁρματηλάτης ἐστέλλετ' ἐπάνω χιόνων καὶ πάγων
Ἄλοκ' ἀφίνων ὀπίσω βαθεῖαν, ἧς μήπω τακείσης,
Ἔμελλε πρότερον οὗτος αὐτὸς ὅσον οὔπω λυθῆναι·
Ἔθνη καὶ φῦλα μερόπων ἀνθρώπων παρέρχεται ῥύδην·
Τὴν τῆς καλῆς Ἰταλίας αἰδέσιμον ὄψιν προσεῖπε.



*

* *

Εἶδε, παρῆλθε, παρέπλευσ' ἐν σκάφει πυρπνόῳ
Πλοῦν ἐν Ἀδρίᾳ, τραχείας ἀκτὰς, ὀκριόεντας βράχους,
Καὶ τὰς κλεινὰς τῆς μητρὸς τῶν ἡρώων Ἑλλάδος θαλάσσας,
Ὁ τῆς εὐκλείας αὐτῆς συνεργὸς, οὐδὲ μόνον εὐχέτης.
Ἤδη δ' εὐκταῖος ναυβάτης καταίρ' εἰς τὴν ἔνδοξον Σμύρναν,
Τὸν χαροπὸν ὀφθαλμὸν τῆς ἁβρᾶς καὶ χλιδώσης Ἀσίας,
Καὶ Ὁμηρίδης τιμᾷ τὴν σεπτὴν τοῦ Ὁμήρου κοιτίδα.

Ἕως αὐτοῦ· αἰπυμῆτα Τηλέμαχε· μὴ περαιτέρω!
Στῆθι, καὶ ἔσται ἡ Σμύρνα τοῦ πλοῦ καὶ τοῦ βίου σου τέρμα·
Νεῦσις Θεοῦ σὲ καλεῖ τὸν πραΰν εἰς τὴν γῆν τῶν πραέων.

Χαῖρε, Βυζάντιον, χαῖρε· ἐγγὺς, ἐν τῇ Σμύρνῃ ὁ Πρίγκιψ.
Αὔριον φθάν' εἰς χαρὰν καὶ πτωχῶν καὶ πλουσίων ἐπίσης.
Νόστιμον ἦμαρ· κοινὴ ἑορτή· Χαντζερῆς ἐν τῇ πόλει!

Φροῦδαι ἰδέαι θνητῶν, ματαιότης ὀνείρατα πάντα,
Καὶ προσδοκίαι κ' εὐχαὶ, καὶ ἐλπίδες καὶ πόθοι καὶ σκέψεις!
Νῆμα, καὶ σπᾶται, καπνὸς, καὶ σκεδάννυται, πάχνη, κ' ἐκλείπει·
Χνοῦς, κ' ἐκφυσᾶται· πομφόλιξ, καὶ ῥήγνυτ'· ὀμίχλη καὶ φεύγει.
Πάντα παρέρχοντ', ἢ πάντως ἡμεῖς παρερχόμεθα πάντα,
Ἥττονα, κρείττονα, φαῦλα, σεμνὰ, ταπεινὰ, ἐπηρμένα·

Ἤδ' ἡ τῶν πόθων Ἡὼς σκυθρωπὴ, κατηφὴς ἀνατέλλει,
Δακρυσιστάκτων ῥοῶν λελουμένη, μελάμπεπλος, ὅτε
Πόῤῥωθεν φαίνετ' ἰδοὺ τὸ χαρώνειον σκάφος ἐκ Σμύρνης
Ἐξερευγόμενον νέφη καπνοῦ, μηκυθμὸν ἐκστερνίζον,

Ἦλθεν, ὢ, ἦλθεν ὁ Πρίγκιψ· οἰκεῖοι, γνωστοὶ ἐπὶ λέμβον

*

* *

Προϋπαντῶντες κυκλοῦσι τὸ σκάφος, ὀρθοί, τεταμένοι,
Ὄμμασι, γλώσσῃ, χερσὶν ἐκπυνθάνονται, «ἦλθεν ὁ Πρίγκιψ;»
Πλὴν, (ὢ στιγμὴ ἀποφράς!) γογγυσμὸς βαρυστέναχτος τότε,
Μόλις προφέρει καὶ ῥήγνυτ᾽ εἰς θρῆνον—»ἀπέθαν᾽ ὁ Πρίγκιψ»!
Στύγιος ταύτην σιγὴ, πρὸς καιρὸν διεδέχθη τὴν φήμην,
Καὶ τὸ ἀτμόπλουν Γοργοῦς κεφαλὴ τοῖς παροῦσιν ἀπέβη.
Ὡς δ᾽ ἐν τῷ μέσῳ θαλίας σκηπτὸς καταιβάτης ἐνσκήψας
Πάντας ἀφῆκ᾽ ἐννεοὺς, καὶ ἀνέτρεψεν ἄρδην τὰ πάντα,
Πάντες δὲ κεῖνται νεκροὶ, ἢ νεκρῶν οὐδαμῶς διεστῶτες·
Οὕτως ἐκείν᾽ ἡ φωνὴ, ὡς βροντὴ ἐξαισίως ῥαγεῖσα,
Κατεκεραύνωσε πάντας, ἀφῆκε δ᾽ αὐτοὺς ἡμιθνῆτας.
Ὡς δ᾽ ἐκ τριβῆς ἀκραιμόνων πυκνῶν ὠγυγίας πλατάνου,
Πῦρ ἐπὶ ὄρους ἀφθὲν ἐπινέμεται ἄσπετον ὕλην,
Θέει δὲ μάλα δρομαίως ἡ φλὸξ ἀπὸ δένδρου εἰς δένδρον,
Ῥιπιζομέν᾽ ὑπ᾽ ἀνέμου πνοῆς, σμαραγεῖ δὲ τὸ ὄρος·
Οὕτω τὸ πένθος τῶν πρώτων ὀξὺ διεδόθ᾽ εἰς δευτέρους,
Κ᾽ ἡ ἀπευκταί᾽ ἀγγελία ἐξ οἴκων εἰς οἴκους ἰοῦσα,
Ἀμαιμακέτου πυρὸς σθεναρώτερον ἔφλεγε πάντας,
Ἄνδρας, γυναῖκας, καὶ νέους καὶ γέροντας τάξεως πάσης.

Λείβετε δὴ, Βοσπορίδες, τὰ δάκρυα, Λείβετε, Μοῦσαι.
Κεῖται Τηλέμαχος, κεῖται κλεινὸς καὶ περίβλεπτος Πρίγκιψ,
Ὄλβιος μὲν ἐκ προγόνων, τρισόλβιος δὲ ἐκ πατέρων,
Ὄλβιος δὲ ἐκ Κυρίου καὶ Κράντορος, ὄλβια πάντα.
Νῦν δ᾽ ἀλλὰ σύμπας ἐκεῖνος ἀθρόον κατέρρευσ᾽ ὁ ὄλβος,
Τούτου πεσόντος, ὡς ὅτε δρυὸς μαρανθείσης τὰ φύλλα,
Ἐξαπιναίου βορέως ὁρμὴ συστροβεῖ καὶ σκορπίζει.



*

* *

Λείβετε δὴ, Βοσπορίδες, τὰ δάκρυα, Λείβετε, Μοῦσαι.
Τάλαν Βυζάντιον, φίλη πατρὶς τοῦ λαμπροῦ Τηλεμάχου·
Φάσγανον τοῦτο πικρὸν τὴν καρδίαν σου ἵκετο μέσην,
Ὅθεν ἀντλήσεις τὸ ἄλγος δριμὺ καὶ αὐτίκα κ᾽ ἐσαῦθις·
Ποῦ ὁ χρηστὸς Χαντζερῆς, τοῦ θρακίου Βοσπόρου τὸ κλέος,
Ὁ προμηθεὺς τῶν κοινῶν, τῶν ἰδίων σοφὸς οἰκονόμος,
Ὁ μελιχρὸς ἐν τοῖς λόγοις, ὁ ἄτρεστος ῥέκτης τῶν ἔργων,
Ὁ ἐν μικροῖς μὲν μικρὸς, ἀλλὰ μέγας ἀνὴρ ἐν μεγάλοις,
Ὁ ἐν δυνάμει Θεοῦ δυνατὸς καὶ τὸν νοῦν καὶ τὴν γλῶσσαν;
Ἦν ὅτε ἦν· ἀλλ᾽ οὐκ ἔστι, οὐδ᾽ ἔσεται· σὺ δὲ στυγνάζεις,
Πόλις βασίλισσα, πόλις παλαίδοξος, πόλις ἁγία.
Ἐκ τῆς Εὐρώπης δ᾽ ὀξὺ μυρομένη »Τηλέμαχε» κράζεις,
Κ᾽ ἡ ἀντιγείτων Ἀσί᾽ ἀντηχοῦσα »Τηλέμαχε» κράζει.
Ἕως δ᾽ ἂν ῥέῃ φιλῶν, τὰ σφυρά σου ὁ ῥοῦς τοῦ Βοσπόρου,
Τέως δακρύσεις υἱὸν, ὃν καὶ ξέναι δακρύουσι πόλεις.

Λείβετε δὴ, Βοσπορίδες τὰ δάκρυα, Λείβετε, Μοῦσαι·
Ἐπ᾽ οἰχομένῳ σοι, Πρίγκιψ, ὠλόλυξαν φῦλα καὶ γένη,
Πᾶσαι πενθοῦσιν Ἀρχαὶ τὸν βαθύνουν συμφράδμονα, ὅστις
Ἐπολιτεύσω, τὴν στάθμην τῆς Θέμιδος εὔζυγον φέρων·
Ἤδη δὲ στένει καὶ πᾶς ἐνδεὴς τὸν κοινὸν κηδεμόνα,
Οἱ ὀρφανοὶ τὸν πατέρα, αἱ χῆραι τὸν μέγαν προστάτην,
Τὸν πλουτιστὴν οἱ πτωχοὶ, οἱ δεσμῶται τὸν πρόθυμον ῥύστην,
Τὸν νυμφοστόλον αἱ κόραι, οἱ ξένοι τὸν πρόξενον πάντων,
Τὸν μουσηγέτην οἱ παῖδες, τὸ γένος τὸν ἄσειστον πύργον,
Ἡ ἐκκλησία τὸν στύλον, τὸν πρόμαχον πάντων ὁ Κλῆρος.

*
* *

Πάντα ὁ ἄωρος πότμος ἠρείπωσε, αἴφνης βαλών σε
Πάνδημος δὲ ὀρφανία μελαίνη καὶ πάντας καὶ πάντα,
Οἷς ἡ ζωή σου ζωή, καὶ ὁ θάνατος πλέον θανάτου.

Λείβετε δή, Βοσπορίδες, τὰ δάκρυα, Λείβετε, Μοῦσαι.
«Σμύρνα, φιλότιμος Σμύρνα, (θρηνοῦν τὸ Βυζάντιον λέγει)
Σμύρνα τῆς δόξης πατρίς, καὶ τῆς δόξης ἀκόρεστος ὅμως.
Κέκτησαι, τίς σε φθονεῖ; τὸ προνόμιον μόνη τοῦ κλέους
Καὶ δι' ἑνὸς γάρ σου τέκνου τιμᾷς τὸ ἀνθρώπινον σύμπαν.
Τί καὶ τὸν στέφανον νῦν τοῦ ἐμοῦ περιέδραξας εὔχους,
Φιλοτιμίας εὑροῦσα τὸν Π ρ ί γ κ ι π α ἕρμαιον μέγα,
Ἵνα μὴ μόνον λοχεύῃς, ἀλλὰ καὶ κηδεύῃς μεγάλως,
Τούτοις μὲν σπάργανα τέμνουσ', ἐκείνοις δὲ σάβανα δόξης;
Οὕτως ἡ πρώτ' ἢ δευτέρα πατρίς, ἢ οἰκείων ἢ ξένων,
Ζώντων ἐν σοὶ ἢ θνησκόντων ἡρώων ἀείποθ' ὑπάρχεις.
Οὐκ ἀναξίως, διότι τιμᾷς ὡς οἰκείους τοὺς ξένους.
Σὺ ἐφεστῶσ' ἀντ' ἐμοῦ εἰς τὸν λοίσθιον τούτου κλιντῆρα,
Μήτηρ, οὐχὶ μητρυιά, περιέψηχες μήπω ψυγέντα,
Κ' ἔκλεισας, οἴμοι! τὰ βλέφαρ' αὐτοῦ φιλοξένοις δακτύλοις,
Ὅτ' αἱ λαμπάδες αὐτοῦ τῶν ὀμμάτων ἐσβέννυντο ἤδη.
Ὅτε δὲ πάλιν νεκρὸς ἐξεφέρετο θέαμα λύπης
Πρὸς τὸν ναὸν τοῦ Θεοῦ, τῶν κωδώνων θρηνῶδες βομβούντων,
Λιβανωτοῦ τὸν αἰθέρα λακτίζοντος δᾴδων, ἡμμένων,
Ἑξαπτερύγων χρυσῶν καὶ σταυρῶν καὶ φανῶν ἡγουμένων,
Ἐφεπομένου τοῦ Κλήρου, ἠχούσης μολπῆς νεκρωσίμου,
Παρομαρτοῦντος τοῦ ἄνθους τῶν σῶν εὐγενῶν καὶ λογάδων,



*
* *

Συνθλιβομένου λαοῦ τὰς ὁδούς σου πυκάζοντος πάσας,
Τότε τὸν σκίμποδα σὺ τοῦ ἐμοῦ Τ η λ ε μ ά χ ο υ κρατοῦσα,
Κυματουμένη τὴν κόμην, καὶ μέλαινα ἕλκουσα χλαῖναν
Παρηκολούθης, ὡς μήτηρ τηλύγετον θάπτουσα τέκνον.
Τὸν τελευταῖον δὲ δοῦσ' ἀσπασμόν, ἐθησαύρισας τοῦτον
Τοῖς φιλοξένοις σου κόλποις, δανείσασα χοῦν εὐσεβείας.
Εὐλογημένος ὁ χοῦς σου, καὶ πᾶς τῶν δακρύων σου θρόμβος
Ἔστω λαμπρὸς μαργαρίτης κοσμῶν τὸ τῆς δόξης σου στέφος.
Οὕτως ὀλβία μὲν σύ, ἀλλ' ἐγὼ κακοδαίμων, παντλήμων,
Κλαίουσ' ἁπλῶς εἰς ἀέρας, ὃν ὤλεσα μήπω λαβοῦσα!»

Λείβετε δή, Βοσπορίδες, τὰ δάκρυα, Λείβετε, Μοῦσαι.
Μελανοπτέρυγες ἤδη διίπτανται ἄλλοθεν ἄλλοι
Ἄγγελ' εἰς πᾶσαν τὴν γῆν, τὴν οἰκτρὰν συμφορὰν τραγῳδοῦντες.
Ποία φλογίνη ῥομφαία τὴν σὴν διαπρήσει καρδίαν,
Φίλανδρος γύναι, ὁπόταν αἰφνίδιον ἄκουσμ' ἀκούσῃς,
Ὅτ' εἰς τὴν ἄλλην ζωὴν ἡ ψυχὴ τῆς ψυχῆς σου ἀπέπτη;
Τὰς παρειάς σου ἀμύξεις, τὰς τρίχας ἐκσπάσεις τῆς κόμης,
Ῥεῖθρα δακρύων σταλάξεις, λυγρὸν δὲ κωκύουσα γόον,
Εἰς ὀδυρμὸν τὰς γνωστὰς καὶ τὰς γείτονας πάσας κινήσεις,
Κρήδεμνα δὲ περιθεῖσ' ἀμαυρά, τὸ λευκὸν μέτωπόν σου
Μέχρις ὀφρύων καλύψεις καὶ νεύουσ' ἀεὶ κατ' ἐδάφους,
Ἐν στεναγμοῖς καὶ λυγμοῖς τὰς στιγμὰς συμμετρήσεις τοῦ βίου,
Στένουσα πόσιν πιστόν, εὐγενῆ καὶ τρισέραστον φίλον,
Καὶ ἀδελφὸν ἐν Χριστῷ διὰ πίστεως, ἧς συμμετέσχες·
Στέργηθρα τόσα ὠχρότης ἐκάλυψεν ἤδη μαρμάρου

*

* *

Ἐν, Ἰωνίᾳ μακράν σου, σὺ δὲ καὶ αὐτῆς ἐστερήθης
Τῆς θλιβερᾶς ἡδονῆς τοῦ τὸ ἄχαρι μάρμαρον πλῦναι
Ἐπιδακρύουσα, ὥστις θερμὴ καὶ μελάνυδρος κρήνη.
Πλὴν καὶ τὸν λίθον αὐτὸν ἐπεμάλαξας πρότερον ἴσως,
Πρὶν τὴν σκληρὰν τῆς ψυχῆς σου ὀδύνην μαλάξῃς τοῖς θρήνοις.

Λείβετε δὴ, Βοσπορίδες, τὰ δάκρυα, Λείβετε, Μοῦσαι.
Παῖ Τηλεμάχου, καὶ σὲ περιστήσονται παῖδες Τευτόνων,
Πένθημοι πενθηφοροῦντος παρήγοροι δυσπαρηγόρου,
Ἐκ χαροπῶν δ᾽ ὀφθαλμῶν ἀδαμάντινον δάκρυ ἐκθλίβων
Τὰς ῥαδινὰς παρειάς σου ῥαντίσεις, ὡς ὅτ᾽ ἐπιπάσσει
Δρόσου ψεκάσι στιλπναῖς ἡ Ἠὼς, νεοπρόβλητον ῥόδον.
Οἵου πατρὸς ὠρφανίσθεις! παιδίον χρηστὸν καὶ ἀθῶον,
Οἵου πατρὸς ὠρφανίσθης! ἀλλ᾽ οἵας καὶ δόξης καὶ φήμης
Ἔσῃ ποτὲ κληρονόμος, ἐκείνου τοῖς ἴχνεσι βαίνων!
Καὶ ποτ᾽ ἐρεῖ τις ἰδών σε καὶ πᾶσι δεικνὺς τῷ δακτύλῳ,
»Οὗτος ἐκείνου υἱὸς, Τηλικούτου πατρὸς Τηλικοῦτος!»

Λείβετε δὴ, Βοσπορίδες, τὰ δάκρυα, Λείβετε, Μοῦσαι.
Ἄγγελος ἄλλος εἰς Μόσχαν τὴν μόρσιμον φήμην σαλπίζει,
Ἔνθα πατὴρ πολιὸς, ὁ κλεινὸς Ἡγεμὼν τῆς Δακίας,
Γένυν λευκὴν καὶ κροτάφους λευκοὺς διὰ χλαίνης καλύψας,
Ὥς τις νηπίαχος παῖς κρουνηδὸν κατὰ δάκρυα χέει,
Κλαίων τὸν φίλον υἱὸν ἐν τῷ μέσῳ κλαιόντων γερόντων,
Πρὸς τὴν τοῦ γήραως ἔνθεν οὐδὸν μετ᾽ ὠδίνης ἑρπύζων.

Λείβετε δὴ, Βοσπορίδες, τὰ δάκρυα, Λείβετε, Μοῦσαι.
Ἄγγελος τρίτος φιάλην πικρίας καὶ θρῆνον ἐκχέει



*

* *

Εἰς τὴν μεγάλην τῶν Ῥώσσων μητρόπολιν, ἣν ἐκπιοῦσαι
Χίλιαι φίλων καρδίαι, μαραίνονται πᾶσ᾽ ἐκ τοῦ πένθους.
Νέφος δὲ λύπης βραχὺ καὶ αὐτὸν ὑπερέπτη τὸν θρόνον,
Ἐπισκιάσαν τὴν ὄψιν τοῦ νῦν ἐπ᾽ αὐτὸν ἑζομένου,
Ὅστις ὡς οἶδε κρατεῖν, οὕτως οἶδε φιλεῖν καὶ λυπεῖσθαι.
Ἔκλαγξε δὲ παρ᾽ αὐτῷ γοερὸν, ὁ τεράστιος ὄρνις,
Ὁ τὸν τῆς νίκης σταυρὸν τοῖς χρυσοῖς μεταφρένοις ἀνέχων,
Καὶ δι᾽ ὀνύχων γναμπτῶν περισφίγγων τὰ σκῆπτρα τοῦ πόλου.
Τῶν ὠκιῶν δὲ πτερύγων τὸ ἄστεκτον σθένος χαλάσας,
Κυρτοβλεφάρους διττὰς κεφαλὰς ἑκατέρωθεν στρέφει
Ἀποσκοποῦσας, τὴν μὲν πρὸς Εὐρώπην, τὴν δὲ πρὸς Ἀσίαν,
Ὅπου ἐτάφη, καὶ ὅπου θρηνεῖται ὁ πάντιμος Ἕλλην.

Στήσατε δὴ, Βοσπορίδες, τὰ δάκρυα, στήσατε, Μοῦσαι.
Μάταια πάντα, οὐ μόνον χαρὰ κ᾽ εὐθυμία καὶ γέλως,
Ἀλλ᾽ ἐν τῷ κόσμῳ καὶ θρῆνοι καὶ δάκρυ᾽ ἀνόνητα πάντα.
Τί τὸ μικρὸν ἢ τὸ μέγα; ἢ τί τὸ λυποῦν καὶ τὸ τέρπον,
Ὥστ᾽ ἐπὶ τούτοις μὲν χαίρειν, ἀλγεῖν δ᾽ ἐπ᾽ ἐκείνοις ἀξίως;
Τί καὶ ὁ κόσμος αὐτὸς τοῖς τὸν ἄλλον ἐλπίζουσι κόσμον;
Ἄλλης ζωῆς ἀπαρχὴ τῆς παρούσης ὑπάρχει τὸ τέρμα,
Ὅτε τρυφῆς ποταμὸς ἀποβαίν᾽ ἡ ῥανὶς τοῦ δακρύου,
Ἣν ἀγαπῶσα ψυχὴ ἐπὶ τοῦδε σταλάξει τοῦ κόσμου.

Στήσατε δὴ, Βοσπορίδες τὰ δάκρυα, στήσατε, Μοῦσαι.
Θάνατ᾽, ὦ θάνατε, πτόει μωροὺς ἢ ἀπίστους ἀνθρώπους,
Βιοθανεῖς, θνητοψύχους, μηδὲν ἄλλ᾽ ἢ σάρκας καὶ ὕλην,
Ὅσοι ζωὴν τὸ τεθνάναι, τεθνάναι δ᾽ ἡγοῦνται τὸ ζῆσαι·

*

* *

Οὐ γὰρ πτοήσεις ποτὲ τὸν πιστὸν τὸν πρεσβεύοντα, ὅτι
Ἔστι θεὸς καὶ ψυχὴ καὶ ζωὴ καὶ παράδεισος ζώντων.
Ταύτην δ' ἔνθεος Πρίγκιψ βεβαίαν κατέχων τὴν πίστιν,
Ὧδε μὲν εἶχεν ἀεὶ δεξιὸν τὸν Θεὸν παραστάτην,
Ὅστις τὰ βήματ' αὐτοῦ ἐν ὁδῷ διεξῆγεν ἀμώμῳ
Πνεῦμα σοφίας διδοὺς καὶ βουλῆς καὶ ἰσχύος μεγάλης,
Ὥστε πατεῖν μὲν σκορπίους, συντρίβειν δ' ἐχθροῦ τὰς παγίδας·
Νῦν δ' ἐκ τῶν τῆδε κυμάτων ἐλθὼν εἰς γαλήνιον ὅρμον
Ζῇ τὴν ζωὴν τῶν δικαίων, οἰκτείρων ἡμᾶς τοὺς ἐνθάδε
Μάταιον τοῦτον οὐχ ἧττον, ἢ δίκαιον θρῆνον θρηνοῦντας.

Τόδε σοι κύδιμε Πρίγκιψ Τηλέμαχ' ἐξόδιον ᾖσεν
Ὁμογενής σου τυφλὸς ἀοιδὸς, ἀρετὴν ἐκθειάζων

## ΤΕΛΟΣ.

Ἐποιήθη ἐν Κωνσταντινουπόλει τῇ ιθ'. Μαρτίου αων'. ἡμέρᾳ, καθ' ἣν ἐτελεῖτο τὸ ἱερὸν αὐτοῦ μνημόσυνον ἐν τῷ Ναῷ τῶν Εἰσοδίων ἐν Σταυροδρομίῳ.